# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hps-af

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Citharists, Fragments Known Elsewhere

## *Ἀποσπάσματα Κιθαριστῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ᾤιμην ἐγὼ τοὺς

book 1.2 πλουσίους, ὦ Φανία, οἷς μὴ τὸ δανείζεσθαι

book 1.3 πρόσεστιν, οὐ στένειν τὰς νύκτας οὐδὲ στρεφομένους ἄνω κάτω “οἴμοι” λέγειν, ἡδὺν δὲ καὶ πρᾶιόν

book 1.4 τινα[ln_5]ὕπνον καθεύδειν, ἀλλὰ τῶν

book 1.5 πτωχῶν

book 1.6 τινα. νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους ὑμᾶς ὁρῶ πονοῦντας ἡμῖν ἐμφερῆ. ἆρ’ ἐστὶ συγγενές

book 1.7 τι λύπη καὶ βίος; τρυφερῶι βίωι σύνεστιν, ἐνδόξωι βίωι[ln_10]πάρεστιν, ἀπόρωι

book 1.8 συγκαταγηράσκει βίωι.

book 2.1 τὸ κουφότατόν

book 2.2 σε τῶν κακῶν πάντων δάκνει, πενία. τί γὰρ

book 2.3 τοῦτ’ ἐστίν; ἧς γένοιτ’ ἂν εἷς φίλος βοηθήσας ἰατρὸς ῥαιδίως.

book 3 εἰ τοὺς ἀδικηθέντας, πάτερ, φευξούμεθα, τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥαιδίως;

book 4 τὸ μηθὲν ἀδικεῖν ἐκμαθεῖν γάρ, ὦ Λάχης, ἀστεῖον ἐπιτήδευμα κρίνω τῶι βίωι.

book 5.1 φιλόμουσον εἶναι 〈κἀγαπᾶν〉 αὐτὸν πάνυ ἀκούσματ’ εἰς

book 5.2 τρυφήν

book 5.3 τε παιδεύεσθ’ ἀεί.

book 6.1 οὐκ οἰκοσίτους

book 6.2 τοὺς ἀκροατὰς λαμβάνεις.

book 7.1 οὕτω

book 7.2 τι πρᾶγμ’ ἐστ’ ἐπίπονον τὸ προσδοκᾶν.

book 8.1 ὡς

book 8.2 ποικίλον

book 8.3 πρᾶγμ’ ἐστὶ καὶ πλάνον τύχη.

book 9 σκοῖδος·

book 10 ὦ Φανία, μὴ πρόσεχε διαβολαῖς μάτην.

book 11 ῥάιθυμος ἂν ἦις, Φανία, πένης ἔσει.

book 12 καλὸν τὸ Κείων νόμιμόν ἐστι, Φανία· ὁ μὴ δυνάμενος ζῆν καλῶς οὐ ζῆι κακῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org